## CAPUT XV.

Prius itaque de vi, & necessitate dicendum fuerit. Vis enim etiam in carentibus anima. Singulis nanque inanimatis, suus est locus attributus: igni quidem suprà, terræ autem infrà. Vi autẽ adigi potest, lapis quidem, vt sursum feratur, ignis verò vt deorsum, potest & animantibus vis fieri: verbi gratia, equus qui rectà currebat, retroactus, cursum flectat. Quibuscunque igitur exterior est causa, aliquid contra naturam, aut præter voluntatem faciendi, cogi dicimus facere quę faciunt: at quibus in ipsis inest causa: hos nequaquam cogi dicimus. Alioquin, repugnabit incontinens, negabítq. se esse malum: quippe quẽ cogat cupiditas ea quæ sunt mala agere. Violẽti igitur hęc nobis erit definitio. Quorum agendi causa, à qua cogantur, fuerit externa, *vis est*: quorum autem interior, ac ipsis causa est, nequaquam vis.

## CAPUT XVI.

Rursus de necessitate, necessarióque dicendum. Necessarium nõ omnino, neque in omni dicendum est: cuiusmodi sunt, quæcunque voluptatis causa agimus. Nã si quispiã dicat se à voluptate coactum vt amici mulierem vitiaret, fuerit id perineptum. Nec enim in omni necessariũ est, sed in iis quæ sunt extra: vt si offendatur quispiam, à rerum necessitate coactus maius aliud quippiam deuitare, hoc modo: in agrum properare coactus sum: alioquin corrupta omnia in agro reperissem. In huiusmodi itaque rebus est necessarium.

## CAPUT XVII.

Quoniam verò quod sponte fit, nemine impellente fit, restat vt id esse dicamus quod cogitatò fit. Inuitum enim est, quod ex necessitate, vique efficitur: & tertio loco, quòd non fit cogitatò: quod planè ex iis quæ euenire solent, certum est. Nam cùm quis aliquem cæciderit, occideritve, aut eiusmodi aliquid effecerit, qui horum nihil antè cogitauerit, cùm dicimus inuitum fecisse, quippe quòd sponte factum id intelligatur quod cogitatò fit. Velut olim mulierem aiunt quandam poculum præbuisse cuidam amatorium: dein eo poculo hominem fuisse sublatum: eã verò mulieré in Areopago fuisse absolutam: quam præsentem non alia de causa liberarunt, quàm quòd non consultò & cogitatò id fecisset. amoris enim causa dedisse: verùm à proposito aberrasse: Itaq. spõte factũ id nõ est visum:

A

## Κεφάλαιον ιε.

Πρότερον οὖν τοίνυν ἂν εἴη λεκτέον ὑπὲρ βίας καὶ ἀνάγκης. ἡ μὲν γὰρ βία ἐστὶ καὶ ἐν τοῖς ἀψύχοις. ἑκάστοις γὰρ ἐστὶ τῶν ἀψύχων οἰκεῖος τόπος ἀποδεδομένος, τῷ μὲν πυρὶ ὁ ἄνω, τῇ δὲ γῇ ὁ κάτω. ἔστι μέντοι γε βιάσασθαι καὶ τὸν λίθον ἄνω φέρεσθαι, καὶ τὸ πῦρ κάτω. ἔστι δὲ καὶ τὸ ζῷον βιάσασθαι· οἷον τὸν ἵππον ἐκ τοῦ B ὀρθὸν θέοντα, ἀντιλαμβανόμενον ἀποστρέψαι. ὅσοις μὲν οὖν ἐστὶν ἐκτὸς ἡ αἰτία τοῦ παρὰ φύσιν τι, ἢ παρ' ἃ βούλονται ποιεῖν, ἐροῦμεν βιαζομένοις, ἂν ποιῶσι, ποιεῖν. ἐν οἷς δὲ ἐν αὐτοῖς ἐστὶν ἡ αἰτία, οὐκέτι τούτοις βιάζεσθαι ἐροῦμεν. εἰ δὲ μή, ὁ ἀκρατὴς ἀντερεῖ, οὐ φάσκων φαῦλος εἶναι· βιαζόμενος γάρ φησιν ὑπὸ τῆς ἐπιθυμίας τὰ φαῦλα πράττειν. τοῦ οὖν βιαίου ἔστω ἡμῖν ἐστὶν ὁ ὁρισμός, ὧν ἐκτός ἐστιν ἡ αἰτία, ἀφ' ἧς βιάζονται πράττειν. ὧν C δ' ἐντὸς καὶ ἐν αὐτοῖς ἡ αἰτία, οὐ βία.

## Κεφάλαιον ιϛ.

Πάλιν δὲ ὑπὲρ ἀνάγκης καὶ τοῦ ἀναγκαίου λεκτέον. τὸ δὲ ἀναγκαῖον οὐ πάντως, οὐδὲ ἐν παντὶ λεκτέον ἐστίν· οἷον ὅσα ἡδονῆς ἕνεκεν πράττομεν. εἰ γάρ τις λέγοι ὅτι ἠναγκάσθην τὴν τοῦ φίλου γυναῖκα διαφθεῖραι ὑπὸ τῆς ἡδονῆς, ἄτοπον ἂν εἴη. τί γὰρ D ἀναγκαῖον οὐκ ἐν παντί, ἀλλ' ἤδη ἐν τοῖς ἐκτός· οἷον ἐάν τις καταβλάπτηται, ἀντικαταλλαττόμενός τι ἄλλο μεῖζον ὑπὸ τῶν πραγμάτων ἠναγκάσθην συντονώτερον βαδίσαι εἰς ἀγρόν· εἰ γὰρ μή, ἀπολωλότ' ἂν εὗρον τὰ ἐν ἀγρῷ. ἐν τοῖς τοιούτοις ἄρα τὸ ἀναγκαῖον.

## Κεφάλαιον ιζ.

E Ἐπεὶ δὲ τὸ ἑκούσιον ἐν οὐδεμιᾷ ὁρμῇ ἐστί, λοιπὸν ἂν εἴη τὸ ἐκ διανοίας γινόμενον. τὸ γὰρ ἀκούσιόν ἐστι τό, τε κατ' ἀνάγκην καὶ κατὰ βίαν γινόμενον, καὶ τρίτον ὃ μὴ κατὰ διάνοιαν γίγνεται. δῆλον δ' ἐστὶ τοῦτο ἐκ τῶν γινομένων. ὅταν γάρ τις πατάξῃ τινὰ ἢ ἀποκτείνῃ, ἤ τι τῶν τοιούτων ποιήσῃ, μηδὲν F προδιανοηθείς, ἄκοντα φαμὲν ποιῆσαι, ὡς τοῦ ἑκουσίου ὄντος ἐν τῷ διανοηθῆναι. οἷόν φασί ποτέ τινα γυναῖκα φίλτρον τινὶ δοῦναι πιεῖν· εἶτα τὸν ἄνθρωπον ἀποθανεῖν ἀπὸ τοῦ φίλτρου, τὴν δ' ἄνθρωπον ἐν Ἀρείῳ πάγῳ ἀποφυγεῖν· οὗ παροῦσαν, δι' οὐδὲν ἄλλο ἀπέλυσε, ἢ διότι οὐκ ἐκ προνοίας. ἔδωκε μὲν γὰρ φιλίᾳ, διήμαρτε δὲ τούτου. διὸ οὐχ ἑκούσιον ἐδόκει εἶναι,

ὅτι τὴν